50 f. *βροτοστυγεῖς*, den Menschen grauenvoll, dagegen Prom. 825 *Γοργόνες βροτοστυγεῖς*, den Menschen feindlich. — Wie *φάος*, lux, Heil und Segen, so bedeutet *δνόφοι* Unsegen, welcher auf dem Hause ruht, weil die Besitzer sich ihrer Schuld bewufst sind und im Gefühle allgemeiner Mifsachtung keine frohe Stunde haben. Vgl. Eum. 380.

53 ff. Für *δνόφοι βροτοστυγεῖς* folgt die Erklärung: „Die früher unbezwingliche, unüberwindliche, unnahbare Ehrfurcht vor dem königlichen Hause, welche Ohr und Herz des Volkes durchdrang, weicht jetzt. Und mancher scheut sich nunmehr solches Glück königlicher Stellung zu geniefsen, während sonst königliche Macht den Menschen als Gott und als mehr denn Gott erscheint." *δι' ὤτων φρενός τε*, weil sich die Ehrfurcht in Reden und in der Gesinnung zeigt. — *περαίνειν* steht im Sinne von *περᾶν*, vgl. Pind. Pyth. X 28 *περαίνει πρὸς ἔσχατον πλόον.*

59—73. Begründung (*δὲ* wie 32) zu *φοβεῖται δέ τις τόδ' εὐτυχεῖν*: „Die Entscheidung der strafenden Gerechtigkeit erschaut schnell die offenbaren Verbrecher; solche aber, deren Schuld sich im Zwielicht birgt, erwartet erst mit der Zeit die Strafe; andere aber deckt wirkungslose (d. h. die Bestrafung ver-

ταχεῖα τοὺς μὲν ἐν φάει, 60
τὰ δ' ἐν μεταιχμίῳ σκότου
μένει χρονίζοντας ἄχη·
τοὺς δ' ἄκραντος ἔχει νύξ.

str. 3. *δι' αἷμ' ἅπαξ ποθὲν δ' ὑπὸ χθονὸς τροφοῦ*
τίτας φόνος πέπηγεν οὐ διαρρύδαν. 65
διαλγὴς δ' ἄτα
διαφέρει τὸν αἴτιον
παναρκέτας νόσου βρύειν.

ant. 3. *θιγόντι δ' οὔτι νυμφικῶν ἑδωλίων*
ἄκος, πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ 70
διαίνοντες τὸν

eitelnde) Nacht. Der Mord ist offenbar durch das Blutmal, das nicht zerfliefst; der mit Seelenschmerz verbundene Aufschub bewirkt bei dem Mörder nur üppige Blüte der Krankheit (vgl. zu 381 ff.); kein Versteck giebt es für ihn und wenn alle Ströme der Erde sich vereinigen, können sie das Blutmal seiner Hand nicht rein waschen." Den drei Gliedern *ταχεῖα — ἐν φάει, χρονίζοντας — ἐν μεταιχμίῳ σκότου, ἄκραντος — νύξ* entsprechen die drei Glieder des Gegensatzes: immer sichtbare Spur (*ἐν φάει*), Aufschub (*χρονίζοντας*), Versteck (*νύξ*). Anderes Unrecht wird bald gleich, bald spät, manchmal auch gar nicht bestraft, den Mord erwartet unter allen Umständen die Strafe. Äschylos liebt es, durch solchen Kontrast das Verbrechen des Mordes als das schwerste hervorzuheben. Vgl. zu Ag. 990 und besonders Eum. 648 „Fesseln kann man lösen: der Tote aber steht nicht wieder auf; dafür allein hat Vater Zeus keine Sühne geschaffen; alles andere nimmt er nicht so schwer." — *τὰ δ' ἐν μεταιχμίῳ σκ. χρονίζοντας* um des Versmafses willen statt der gewöhnlichen Wendung *τοὺς δὲ . . χρονίζοντας.* — *ἐν μεταιχμίῳ σκότου* scil. *καὶ φάους*, wie sich aus dem Vorhergehenden ergiebt. Vgl. Aristoph. Vö. 187 *ἐν μέσῳ δήπουθεν ἀήρ ἐστι γῆς* (scil. *καὶ οὐρανοῦ*). — *ἅπαξ ποθέν* wie Ag. 1004 *πεσὸν ἅπαξ*, Eum. 651 *ἀνδρὸς δ' ἐπειδὰν αἷμ' ἀνασπάσῃ κόνις ἅπαξ θανόντος.* — *φόνος πέπηγεν*: haec e populari quadam superstitione intellegenda sunt, ad nostram etiam aetatem propagata, qua maculam ex sanguine hominis iniuste caesi in terram effuso semper manere nec elui posse fingebant (Schütz). — *διαφέρει*, differt, hält hin. — Das dunkle Wort *παναρκέτας* (vgl. zu Eum. 529) erklärt der Schol. *τῆς εἰς πάντα τὸν χρόνον ἀρκούσης αὐτῷ.* Vgl. Suid. *παναρκέος· τοῦ μεγάλου καὶ δυνατοῦ* und *πανταρκής* Pers. 857. — Mit *βρύειν* vgl. *ἀνθεῖ* 1007. Der Genet. wie Soph. Oed. K. 17 *χῶρος . . βρύων δάφνης ἐλαίας ἀμπέλου.* Der Infin. steht konsekutiv. — *νυμφικῶν ἑδωλίων* wie *πωλικῶν ἑδωλίων* Sept. 441 von den *παρθενῶνες.* Als Versteck erscheint die Frauenwohnung auch Sol. eleg. 4, 30 *εἰ καί τις φεύγων ἐν μυχῷ ᾖ θαλάμου*, Eur. Iph. T. 825 *λόγχην . . ἐν παρθενῶσι τοῖσι σοῖς κεκρυμμένην.* — *πόροι τε πάντες κτἑ.*: vgl. Soph. Oed. T. 1227 *οἶμαι γὰρ οὔτ' ἂν Ἴστρον οὔτε Φᾶσιν ἂν νίψαι καθαρμῷ τήνδε τὴν στέγην κτἑ.* — *διαίνοντες*, anfeuchtend, konnte

χεϱομυσῆ φόνον ⟨ϱοαῖ-
σιν⟩ ἠόνησαν ἂν μάταν.

epod. ἐμοὶ δ᾽ (ἀνάγκαν γὰϱ ἀμφίπτολιν
θεοὶ πϱοσήνεγκαν· ἐκ γὰϱ οἴκων 75
πατϱῴων δουλίαν ἐσᾶγον αἶσαν)
δίκαια καὶ μὴ
πϱέποντ᾽ ἐπ᾽ ἀϱχᾶς βίου
βίᾳ φϱενῶν αἰνέσαι, πικϱὸν στύγος κϱατούσῃ.
δακϱύω δ᾽ ὑφ᾽ εἱμάτων 80
ματαίοισι δεσπόταν τύχαις,
κϱυφαίοις πένθεσιν παχνουμένη.

ΗΛΕΚΤΡΑ.

Δμωαὶ γυναῖκες, δωμάτων εὐθήμονες,
ἐπεὶ πάϱεστε τῆσδε πϱοστϱοπῆς ἐμοὶ
πομποί, γένεσθε τῶνδε σύμβουλοι πέϱι· 85

hier mit καθαίϱοντες erklärt werden, welches statt des ergänzten ϱοαῖσιν in den Handschriften steht. — ἠόνησαν: aus einer anderen Stelle des Asch. (frg. 366 Dind.) wird ἠόνησας angeführt und mit ἕλουσας erklärt. Der Potentialis der Vergangenheit steht ähnlich wie der s. g. gnomische Aorist.

74. ἀνάγκαν ἀμφίπτολιν von der Knechtschaft, infolge deren sie von einer Stadt, ihrem Vaterlande, in eine andere Stadt abgeführt worden sind. Der Schol. verweist auf ἀμφιμάτοϱας κόϱους Eur. Androm. 466 (Geschwister, die von zwei Müttern, aber einem Vater stammen). Vgl. Hesych. ἀμφιμήτοϱες· οἱ ἐκ πολλῶν (vielmehr ἐξ ἄλλων, wie Buresch verbessert) μητέϱων γεγονότες ἀδελφοί. Αἰσχύλος Ἡϱακλείδαις. Vgl. auch τῆς ἀναγκαίας τύχης Soph. Ai. 485.

76. ἐσᾶγον αἶσαν: vgl. Hom. Ω 719 εἰσάγαγον κλυτὰ δώματα, ζ 91 εἵματα .. ἐσφόϱεον μέλαν ὕδωϱ, Eur. Hik. 876 χϱυσὸν .. οὐκ εἰσεδέξατ᾽ οἶκον, Iph. T. 742 εἰσβήσω σκάφος, Hel. 1566 εἰσέθεντο σέλματα, Herc. 850 οὔ γέ μ᾽ εἰσπέμπεις δόμους.

77. Schol. ἔστι δὲ παϱοιμία· δοῦλε, δεσποτῶν ἄκουε καὶ δίκαια κἄδικα.

78. πϱέποντα (ἐστὶν) ἐπ᾽ ἀϱχᾶς βίου, es kommt mir zu bei der Abhängigkeit meines Lebens. Krüger I 68, 40, 4.

79. βίᾳ φϱενῶν (mit innerem Widerstreben) wie Sept. 599, Suppl. 806 βίᾳ καϱδίας.

80. ὑφ᾽ εἱμάτων, um die Thränen zu verbergen (κϱυφαίοις πένθεσιν 82).

81. δεσπόταν wie Eur. frg. 831 δακϱύειν τοὺς πϱοσήκοντας φίλους. Der Dativ ματαίοισι τύχαις steht kausal (ob des frevlen Geschicks).

82. παχνουμένη: vgl. Hom. Ρ 112 τοῦ δ᾽ ἐν φϱεσὶν ἄλκιμον ἦτοϱ παχνοῦται, Hes. W. u. T. 360 τό γ᾽ ἐπάχνωσεν φίλον ἦτοϱ, Eur. Hipp. 803 λύπῃ παχνωθεῖσ᾽, Ov. Her. XV 112 adstrictum gelido frigore pectus erat.

83—582 erstes Epeisodion, geteilt durch einen Kommos (305—476). Anagnorismos und Vorbereitung der Rache.

83. δωμάτων εὐθήμονες: Schol. εὖ τιθεῖσαι τὰ κατὰ τὸν οἶκον. Über den Gen. s. Krüger II 47,26,6.

τύμβῳ χέουσα τάσδε κηδείους χοὰς
πῶς εὔφρον' εἴπω, πῶς κατεύξωμαι πατρί;
πότερα λέγουσα πὰρ φίλης φίλῳ φέρειν
γυναικὸς ἀνδρί, τῆς ἐμῆς μητρὸς πάρα; 89
ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς, 92
ἴσ' ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
στέφη, δόσιν γε τῶν κακῶν ἐπαξίαν; 94
τῶνδ' οὐ πάρεστι θάρσος, οὐδ' ἔχω τί φῶ 90
χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρός. 91
ἢ σῖγ' ἀτίμως, ὥσπερ οὖν ἀπώλετο 95
πατήρ, τάδ' ἐκχέασα, γάποτον χύσιν,
στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας, πάλιν
δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν;
τῆσδ' ἐστὲ βουλῆς, ὦ φίλαι, μεταίτιαι·
κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν. 100
μὴ κεύθετ' ἔνδον καρδίας φόβῳ τινός·
τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει
καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
λέγοις ἄν, εἴ τι τῶνδ' ἔχεις ὑπέρτερον.

86. *κηδείους χοάς* wie 536, Spenden zur Totentrauer, nicht *συγγενικάς*, wie der Schol. erklärt. Vgl. *κηδείου τριχός* 225 (Trauerhaar).

87. *εὔφρονα*, Verständiges, gut Gedachtes.

88. Vgl. Eur. Or. 116 *καὶ στᾶσ' ἐπ' ἄκρου χώματος λέξον τάδε· Ἑλένη σ' ἀδελφὴ ταῖσδε δωρεῖται χοαῖς.* — *πὰρ* für *παρὰ* ist zur Gewinnung eines für Äschylos geeigneteren Rhythmus (von H. Wolf) nach Eum. 229 hergestellt.

92. *τοῦτο τοὔπος*, diese Bitte.

94. *στέφη* hier von den Spenden. Vgl. Soph. El. 53 *πατρὸς τύμβον .. λοιβαῖσι πρῶτον καὶ καρατόμοις χλιδαῖς στέψαντες.* — Die Menschen verstehen gewöhnlich unter *ἴσα* Gutes, hier aber werden *κακά* daraus (Schol. *παρ' ὑπόνοιαν· ἔδει γὰρ „τῶν καλῶν" εἰπεῖν*). Diese Pointe wird durch *γὲ* gehoben.

95. *ἀτίμως*, so dafs die Spende dem Toten nicht Ehre, sondern Unehre bringt und ihn gegen die Spenderin erbittert. — *ὥσπερ οὖν* wie 887.

97. *καθάρμαθ'.. πάλιν* (retro) *δικοῦσα* (hinter mich werfend) .. *ὄμμασιν: τοῦτο πρὸς τὸ παρ' Ἀθηναίοις ἔθος, ὅτι καθαίροντες οἰκίαν ὀστρακίνῳ θυματηρίῳ ῥίψαντες ἐν ταῖς τριόδοις ἀμεταστρεπτεὶ ἀνεχώρουν.* Vgl. Theokr. 24, 93 *συλλέξασα κόνιν πυρὸς ἀμφιπόλων τις ῥιψάτω εὖ μάλα πᾶσαν ὑπὲρ ποταμοῖο φέρουσα ῥωγάδος ἐκ πέτρας ὑπερούριον, ἄψ δὲ νέεσθαι ἄστρεπτος*, Verg. Ecl. VIII 101 rivoque fluenti transque caput iace; nec respexeris, Ovid Fast. V 437 ff. Auch in Deutschland findet sich die Sitte, dafs man Unglück bedeutende Dinge hinter sich über das Haus weg wirft, ohne umzuschauen.

99. *μεταίτιαι* wie 872 *ἀναίτιαι*. Blomfield setzt an beiden Stellen die gebräuchliche Form. Aber vgl. 909 *παραιτία*, Soph. Trach. 447 *τῇ μεταιτίᾳ* und zu Ag. 1527.

100. *νομίζομεν*, vgl. *βίον νομίζων* 1001.

102. Schol. *ἀντὶ τοῦ οὐδὲν πείσεσθε παρὰ τὸ μόρσιμον.*

104. Der unnütze und in den

ΧΟ. αἰδουμένη σοι βωμὸν ὣς τύμβον πατρὸς 105
λέξω, κελεύεις γάρ, τὸν ἐκ φρενὸς λόγον.
ΗΛ. λέγοις ἄν, ὥσπερ ᾐδέσω τάφον πατρός.
ΧΟ. φθέγγου χέουσα κεδνὰ τοῖσιν εὔφροσιν.
ΗΛ. τίνας δὲ τούτους τῶν φίλων προσεννέπω;
ΧΟ. πρῶτον μὲν αὐτὴν χὤστις Αἴγισθον στυγεῖ. 110
ΗΛ. ἐμοί τε καὶ σοί τἄρ' ἐπεύξωμαι τάδε;
ΧΟ. αὐτὴ σὺ ταῦτα μανθάνουσ' ἤδη φράσαι.
ΗΛ. τίν' οὖν ἔτ' ἄλλον τῇδε προστιθῶ στάσει;
ΧΟ. μέμνησ' Ὀρέστου, κεἰ θυραῖός ἐσθ' ὅμως.
ΗΛ. εὖ τοῦτο, κἀφρένωσας οὐχ ἥκιστά με. 115
ΧΟ. τοῖς αἰτίοις νυν τοῦ φόνου μεμνημένη
ΗΛ. τί φῶ; δίδασκ' ἄπειρον ἐξηγουμένη.
ΧΟ. ἐλθεῖν τιν' αὐτοῖς δαίμον' ἢ βροτῶν τινα
ΗΛ. πότερα δικαστὴν ἢ δικηφόρον λέγω;
ΧΟ. ἁπλῶς τι φράζουσ', ὅστις ἀνταποκτενεῖ. 120
ΗΛ. καὶ ταῦτά μοι 'στιν εὐσεβῆ θεῶν πάρα;
ΧΟ. πῶς δ' οὔ, τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς;
ΗΛ. κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω,
ἄρηξον, Ἑρμῆ χθόνιε, κηρύξας ἐμοί,

Worten *εἴ τι τῶνδ' ἔχεις ὑπέρτερον* (si quid novisti rectius istis Hor. epist. I 6, 67) hier unpassende Vers scheint von Schütz mit Recht als Interpolation bezeichnet worden zu sein. Vgl. auch 107.

107. Dicas velim pro ea quam profiteris erga patris sepulcrum reverentia (Schütz). Vgl. Soph. Oed. T. 205 *ὥσπερ μ' ἀραῖον ἔλαβες, ὧδ', ἄναξ, ἐρῶ.*

108. *κεδνά*: vgl. Eur. Or. 1138 *κέδν' ἀρώμενοι τυχεῖν.*

110. *αὐτήν* (dich selbst): zu Ag. 827.

111 ff. *σοὶ τἄρα* d. i. du gehörst zu denen, welche den Ägisthos hassen. Der furchtsame Chor (vgl. 872) bestätigt es nicht direkt: „das lege dir in Gedanken nach eigenem Wissen zurecht“.

113. *τῇδε στάσει*: Schol. *τῇ συστάσει ἡμῶν.* Vgl. Ag. 1105, Cho. 456, Eum. 311.

114. *ὅμως* gestellt wie Pers. 298 *λέξον καταστάς, κεἰ στένεις κακοῖς ὅμως.* Krüger II 56, 13, 2.

115. *εὖ τοῦτο*, scil. *ἔλεξας.*

116. *τοῖς αἰτίοις* wird mit *αὐτοῖς* 118 wieder aufgenommen.

118. *ἐλθεῖν*: aus dem vorhergehenden *τί φῶ;* ergänzt sich *εἰπέ* (bete, wünsche).

119. *δικαστὴν ἢ δικηφόρον*: *κριτὴν ἢ τιμωρόν* Schol. Es bedarf des Richters nicht, weil die Schuld offenkundig ist.

120. „Schlichtweg etwa so dich ausdrückend“ u. s. w. Meineke vermutet *ἁπλῶς πιφαύσκουσ'.*

121. *εὐσεβῆ θεῶν πάρα*, so dafs kein *νεμεσᾶν* von Seite der Götter eintritt.

122. *πῶς δ' οὐκ εὐσεβές ἐστι παρὰ θεῶν, τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς.* Vgl. Archiloch. frg. 65 *ἓν δ' ἐπίσταμαι μέγα τὸν κακῶς τι δρῶντα δεινοῖς ἀνταμείβεσθαι κακοῖς* uud zu Eur. Med. 809.

124. *ἄρηξον*, welches in der Handschrift fehlt, ist von Klausen er-

τοὺς γῆς ἔνερθε δαίμονας κλύειν ἐμὰς 125
εὐχάς, πατρῴων αἱμάτων ἐπισκόπους,
καὶ γαῖαν αὐτήν, ἣ τὰ πάντα τίκτεται
θρέψασά τ' αὖθις τῶνδε κῦμα λαμβάνει.
κἀγὼ χέουσα τάσδε χέρνιβας φθιτοῖς
λέγω καλοῦσα πατέρ'· ἐποίκτειρόν τ' ἐμὲ 130
φίλον τ' Ὀρέστην· πεῖσμ' ἄναψον ἐν δόμοις·
πεπραμένοι γὰρ νῦν γέ πως ἀλώμεθα
πρὸς τῆς τεκούσης, ἄνδρα δ' ἀντηλλάξατο
Αἴγισθον, ὅσπερ σοῦ φόνου μεταίτιος.
κἀγὼ μὲν ἀντίδουλος· ἐκ δὲ χρημάτων 135
φεύγων Ὀρέστης ἐστίν, οἱ δ' ὑπερκόπως
ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα.
ἐλθεῖν δ' Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ
κατεύχομαί σοι, καὶ σὺ κλῦθί μου, πάτερ·
αὐτῇ τέ μοι δὸς σωφρονεστέραν πολὺ 140
μητρὸς γενέσθαι χεῖρά τ' εὐσεβεστέραν.
ἡμῖν μὲν εὐχὰς τάσδε, τοῖς δ' ἐναντίοις
λέγω φανῆναί σου, πάτερ, τιμάορον,

gänzt. — *κηρύξας ἐμοί*, indem du für mich laut ihnen zurufst, daſs .. sollen. Vgl. Soph. El. 1066 *ὦ χθονία βροτοῖσι Φάμα, κατά μοι βόασον οἰκτρὰν ὄπα τοῖς ἔνερθ' Ἀτρείδαις κτέ.*

126. *ἐπισκόπους*: zu 1.

128. *κῦμα* (*κύημα* Schol.) *λαμβάνει*, von dem Samen befruchtet wird. Ebenso Eum. 662.

129. *χέρνιβας, λοιβάς, χοάς, λουτρά.* Vgl. Soph. El. 84 *πατρὸς χέοντες λουτρά.*

131. *πεῖσμ' ἄναψον*: knüpfe für unser irrendes Schifflein (132) ein Haltseil an im Hause. Vgl. Eur. Med. 770 *ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων*, Herc. 478 *ὡς ἀνημμένοι κάλῳς πρυμνησίοισι βίον ἔχοιτ' εὐδαίμονα*, Anthol. XII 159 *ἐν σοὶ τἀμά, Μυΐσκε, πρυμνήσι' ἀνῆπται*, Julian Caes. p. 54 *πεῖσμα καὶ ὅρμον ζῶντι σαυτῷ παρασκευάζων*, Heliod. Aeth. VII p. 351 *πᾶν πεῖσμα διέρρηκται, πᾶσα ἐλπίδος ἄγκυρα παντοίως ἀνέσπασται.*

132. *πεπραμένοι*, übers Meer verkauft. Vgl. 253. Da Elektra wie eine Sklavin gehalten ist (135), fühlt sie ihr Los dem des Orestes gleich.

135. *ἀντίδουλος* wie *ἀντίπαις* Eum. 38.

136. *φεύγων ἐστίν*, das s. g. *σχῆμα Χαλκιδικόν*, vgl. 238, Eum. 549 *προτίων καὶ αἰδόμενος ἔστω.*

137. *πόνος* von dem durch Arbeit Erworbenen, wie Pers. 753 *πολὺς πλούτου πόνος*, Eur. Ion 1088 *ἄλλων πόνον εἰσπεσών.* — *χλίουσι*, sie lassen sich's wohl sein, sie schwelgen. — *μέγα* wie *τιμᾶν μέγα* 254, Eum. 994, *σεβίζειν μέγα* Eum. 12.

138. *σὺν τύχῃ τινί* (mit solchem Glücke wie ich es im Sinne habe), vgl. Sept. 459 *σὺν τύχῃ δέ τῳ*, Soph. Ai. 853 *σὺν τάχει τινί*, Oed. T. 80 *ἐν τύχῃ γέ τῳ.*

140. Der Akk. *σωφρονεστέραν .. εὐσεβεστέραν* schlieſst sich an den Infin. an. Doch vgl. Anhang. Ansprechend vermutet F. W. Schmidt *σωφρονεστέραν τρόπους*, da *πολύ* matt und unpassend ist.

143. *τιμωρόν σου*, einer der dich rächt.

καὶ τοὺς κτανόντας ἀντικατθανεῖν δίκην.
ταῦτ' ἐν μέσῳ τίθημι τῆς καλῆς ἀρᾶς, 145
κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀράν.
ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω,
σὺν θεοῖσι καὶ γῇ καὶ δίκῃ νικηφόρῳ.
τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χοάς·
ὑμᾶς δὲ κωκυτοῖς ἐπανθίζειν νόμος, 150
παιᾶνα τοῦ θανόντος ἐξαυδωμένας.

ΧΟ. ἵετε δάκρυ καναχὲς
ὀλομένῳ μελόμενον δεσπότᾳ,
πρὸς τόδ' ἔρυμα κακῶν ἀπότροπον κεδνῶν τ'
ἄγος ἀπεύχετον κεχυμένων χοᾶν. 155
κλύε δέ μοι σέβας,
κλύ', ὦ δέσποτ', ἐξ ἀμαυρᾶς φρενός.

144. Wenn *δίκην* richtig ist, mufs es als Apposition zum Inhalt des Satzes betrachtet werden. Vgl. Krüger I 57, 10, 10. Man erwartet *ἀνταμύνασθαι* oder *ἀντιτίσασθαι δίκην*, wobei *δίκην* Akk. des inneren Objekts und *τιμάορον* Subjekt wäre. Weil denkt an den Ausfall eines Verses: *δίκην | τίνοντας ὧν ἔδρασαν ἀξίαν κακῶν.*

145. Die gute Bitte geht voraus und folgt nach; die schlimme, welche den Mördern (*κείνοις*) gilt, steht in der Mitte. Die fromme Beterin kann nicht mit schlimmen Worten enden.

147. Pers. 225 *ἐσθλά σοι πέμπειν τέκνῳ τε γῆς ἔνερθεν ἐς φάος.*

150. *ἐπανθίζειν*: Schol. *στέφειν ὡς ἄνθεσιν*, scil. *χοάς*. Vgl. Pers. 622 *ἀλλ', ὦ φίλοι, χοαῖσι ταῖσδε νερτέρων ὕμνους ἐπευφημεῖτε.*

151. Schol. *ὅτι* (d. i. *σημείωσαι ὅτι*) *ἐπ' ἀποθανόντος παιᾶνα εἶπεν κακῶς. καὶ Εὐριπίδης* (Alk. 424) „*παιᾶνα τῷ κάτωθεν ἀσπόνδῳ θεῷ*". Vgl. Soph. Oed. T. 5 *ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων* und Ag. 650.

152—163. Dieses (nach der Überlieferung wenigstens) nicht antistrophische Lied, dessen Mafs Dochmien untermischt mit Kretikern und Jamben bilden, wird, wie es scheint, von dem Koryphaios allein oder von dem Koryphaios als Halbchorführer und (von 158 an) von dem anderen Halbchorführer vorgetragen, während die übrigen Choreuten den Gesang mit dem Ausdruck des Schmerzes begleiten.

152. Schol. *καναχηδὸν δακρύετε* von dem Rieseln der Thränen. Vgl. Eur. Hipp. 1464 *πολλῶν δακρύων ἔσται πίτυλος.*

153. *μελόμενον* (angelegen, lieb): Eur. Iph. T. 182 *μοῦσαν νέκυσι μελομέναν*, Phoen. 1302 *ἰαχὰν μελομέναν νεκροῖς.*

154. *πρὸς* (an) *τόδ' ἔρυμα* gehört zu *κεχυμένων*. — *ἔρυμα: τὸν τάφον* Schol. Der Grabhügel ist ein Schutz und Schirm (Eum. 704, Suppl. 87), der Schlimmes abwehrt und des Guten Sühne herbeifleht. *κακῶν ἀπότροπον* wie 42. — Wegen *ἀπεύχετον* mit dem Objekt *ἄγος* zu Ag. 1075. Doch ist die Lesart unsicher. Vgl. Anhang.

156 f. *σέβας* (Gegenstand der Verehrung) *μοι* wie Eur. Iph. A. 633 *ὦ σέβας ἐμοὶ μέγιστον, Ἀγαμέμνων ἄναξ.* Vgl. Ag. 520. — *κλύε* (nämlich die Klagen) *ἐξ ἀμαυρᾶς φρενός* (welche kommen aus grammdunkelter Seele). Vgl. Ag. 551.

ὀτοτοτοτοτοτοῖ,
ἴτω τις δορυσθενὴς ἀνὴρ
ἀναλυτὴρ δόμων, Σκυθικά τ' ἐν χεροῖν 160
παλίντον' ἐν ἔργῳ 'πιπάλλων Ἄρης
σχέδιά τ' αὐτόκωπα νωμῶν βέλη.

ΗΛ. ἔχει μὲν ἤδη γαπότους χοὰς πατήρ·
νέου δὲ μύθου τοῦδε κοινωνήσατε. 165
ΧΟ. λέγοις ἄν· ὀρχεῖται δὲ καρδία φόβῳ.
ΗΛ. ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφῳ.
ΧΟ. τίνος ποτ' ἀνδρὸς ἢ βαθυζώνου κόρης;
ΗΛ. εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι.
ΧΟ. πῶς οὖν παλαιὰ παρὰ νεωτέρας μάθω; 170
ΗΛ. οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κείραιτό νιν;
ΧΟ. ἐχθροὶ γὰρ οἷς προσῆκε πενθῆσαι τριχί.
ΗΛ. καὶ μὴν ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος.
ΧΟ. ποίαις ἐθείραις; τοῦτο γὰρ θέλω μαθεῖν.

160 ff. Ein Ares (ein Rächer, der Blut vergiefst, zu Ag. 1511 f.), welcher thatkräftig sowohl von dem Bogen als von dem Schwerte Gebrauch macht. *Σκυθικὰ παλίντονα βέλη*: nach einem Bruchstück des Agathon bei Athen. X p. 454 d *Σκυθικῷ τε τόξῳ τὸ τρίτον* (der dritte Buchstabe des Namens *Θησεύς*) *ἦν προσεμφερές* war der skythische Bogen einem *Σ* nicht unähnlich, weil dessen Enden stark aufwärts gebogen waren. *παλίντονα τόξα* auch Hom. *Θ* 266, Herod. VII 69, Soph. Trach. 511. — *σχέδια αὐτόκωπα βέλη*, die Waffe für den Nahkampf, die man gleich am eigenen Griff fafst, nicht erst durch andere Mittel, wie den Pfeil durch den Bogen, in Bewegung setzt. Zu *αὐτόκωπα* vgl. Hesych. *αὐτόλαβον· ἑαυτοῦ λαβὴν ἔχον.*

165. Aristot. Poet. c. 16 p. 1455ᵃ 4 *τετάρτη δὲ* (scil. *ἀναγνώρισις*) *ἡ ἐκ συλλογισμοῦ, οἷον ἐν Χοηφόροις, ὅτι ὅμοιός τις ἐλήλυθεν, ὅμοιος δὲ οὐδεὶς ἀλλ' ἢ ὁ Ὀρέστης, οὗτος ἄρα ἐλήλυθεν.*

166. *ὀρχεῖται*: ebenso wird 1022 f. das Herzklopfen als ein Tanz des Herzens, der das Spiel der Furcht begleitet, bezeichnet.

169. *εὐξύμβολον .. δοξάσαι*, vgl. Prom. 792 *οὐ γὰρ ῥητὸν αὐδᾶσθαι τόδε*, Aristoph. Vö. 1713 *οὐ φατὸν λέγειν.*

170. Suppl. 365 *σὺ δὲ παρ' ὀψιγόνου μάθε γεραροφρονῶν.*

171 *ὅστις κείραιτο*: zu Ag. 625. Elektra will den Gedanken des Chors auf Orestes lenken: „Ich allein könnte die Locke geweiht haben und thatsächlich gleicht die Locke meinen Haaren; da ich es nicht gethan habe, wie ihr wifst, mufs man an Orestes denken.“ Vgl. Soph. El. 907 *ἐξεπίσταμαι* (Chrysothemis, welche die Locke gefunden hat, spricht) *μή του τόδ' ἀγλάισμα πλὴν κείνου μολεῖν. τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε; κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσταμαι οὐδ' αὖ σύ κτέ.* und dazu Schol. *τὸ μὲν ἀπὸ τῆς ὄψεως τοῦ βοστρύχου κινεῖσθαι ἐπὶ τὴν ἀλήθειαν γελοῖον· πιθανῶς οὖν ἐπάγει, ὅτι οὐδενὶ ἄλλῳ ἢ τῷ πάνυ συνημμένῳ κατὰ γένος τὰ τοιαῦτα προσήκει.*

173. *ὅδε, ὁ πλόκαμος.* — *ὁμόπτερος* hier s. v. a. *ὅμοιος.*

ΗΛ. *αὐτοῖσιν ἡμῖν κάρτα προσφερὴς ἰδεῖν.* 175
ΧΟ. *μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ᾖ τόδε;*
ΗΛ. *μάλιστ' ἐκείνου βοστρύχοις προσείδεται.*
ΧΟ. *καὶ πῶς ἐκεῖνος δεῦρ' ἐτόλμησεν μολεῖν;*
ΗΛ. *ἔπεμψε χαίτην κουρίμην χάριν πατρός.*
ΧΟ. *οὐχ ἧσσον εὐδάκρυτά μοι λέγεις τάδε,* 180
εἰ τῆσδε χώρας μήποτε ψαύσει ποδί.
ΗΛ. *κἀμοὶ προσέστη καρδίαν κλυδώνιον*
χολῆς, ἐπαίσθην δ' ὡς διανταίῳ βέλει·
ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι
σταγόνες ἄφρακτοι δυσχίμου πλημμυρίδος, 185
πλόκαμον ἰδούσῃ τόνδε· πῶς γὰρ ἐλπίσω
ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης;
ἀλλ' οὐδὲ μήν νιν ἡ κτανοῦσ' ἐκείρατο,
ἐμή γε μήτηρ, οὐδαμῶς ἐπώνυμον
φρόνημα παισὶ δύσθεον πεπαμένη. 190
ἐγὼ δ' ὅπως μὲν ἄντικρυς τάδ' αἰνέσω,
εἶναι τόδ' ἀγλάϊσμά μοι τοῦ φιλτάτου
βροτῶν Ὀρέστου — σαίνομαι δ' ὑπ' ἐλπίδος.
φεῦ·
εἴθ' εἶχε φωνὴν ἔμφρον' ἀγγέλου δίκην,

175. *αὐτοῖσιν* (Krüger I 43, 1, 3) *ἡμῖν* mit der bei Ausdrücken der Gleichheit geläufigen Brachylogie. Vgl. Hom. *P* 51 *κόμαι Χαρίτεσσιν ὁμοῖαι.* Die Kritik, welche Euripides El. 527 an diesem Erkennungsmittel übt: *χαίτης πῶς συνοίσεται πλόκος, ὁ μὲν παλαίστραις ἀνδρὸς εὐγενοῦς τραφείς, ὁ δὲ κτενισμοῖς θῆλυς; ἀλλ' ἀμήχανον. πολλοῖς δ' ἂν εὕροις βοστρύχους ὁμοπτέρους καὶ μὴ γεγῶσιν αἵματος ταὐτοῦ, γέρον,* ist zwar an und für sich gerechtfertigt, läſst aber die Naivetät der Äschyleischen Poesie auſser acht.

176. *μῶν* .. *ᾖ* wie *μὴ ᾖ* (Krüger I 54, 8, 13), am Ende ist es u. s. w. *μῶν οὖν* wie Eur. Androm. 82 u. a.

179. *ἔπεμψε,* welches im Gegensatz zu *μολεῖν* steht, ist zu betonen. — *κουρίμην χάριν πατρός* (als Liebesgabe von abgeschnittenen Haaren für den Vater) wie *Διὸς εὐκταίαν χάριν* Ag. 1386.

182. *προσέστη καρδίαν*: zu Ag. 825.

184 f. *δίψιοι σταγόνες* von den „heiſsen" Thränen. — *ἄφρακτοι*: der Thränenstrom ist nicht zu hemmen. — *δυσχίμου πλημμυρίδος*: der unaufhaltsam hervorbrechende Thränenstrom erinnert an eine stürmisch bewegte Flut. Eur. Alk. 184 *πᾶν δὲ δέμνιον ὀφθαλμοτέγκτῳ δεύεται πλημμυρίδι.*

188. *νιν*, scil. *πλόκαμον.*

189 f. *ἐπώνυμον φρόνημα*: Sept. 523 *ὠμόν, οὔτι παρθένων ἐπώνυμον, φρόνημα,* Soph. El. 1194 *μήτηρ καλεῖται· μητρὶ δ' οὐδὲν ἐξισοῖ.*

191. *ἄντικρυς* (ins Gesicht, entschieden): Hom. *H* 362 *ἄντικρυ δ' ἀπόφημι.*

192. *ἀγλάϊσμα* (Grabesschmuck): vgl. Soph. El. 908 *καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσταμαι μή του τόδ' ἀγλάϊσμα πλὴν κείνου μολεῖν.*

193. Elektra hat *οὐκ ἔχω* im Sinne, verschweigt aber das ungünstige Wort.

194. *εἶχε*, scil. *ὁ πλόκαμος.*

ὅπως δίφροντις οὖσα μὴ 'κινυσσόμην, 195
ἀλλ' εὖ σάφ' ἦν ἢ τόνδ' ἀποπτύσαι πλόκον,
εἴπερ γ' ἀπ' ἐχθροῦ κρατὸς ἦν τετμημένος,
ἢ ξυγγενὴς ὢν εἶχε συμπενθεῖν ἐμοί,
ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴν πατρός. 199
  καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον, 204
[ποδῶν δ' ὅμοιοι τοῖς τ' ἐμοῖσιν ἐμφερεῖς] 205
πτέρναι τενόντων θ' ὑπογραφαὶ μετρούμεναι 208
ἐς ταὐτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις.
πάρεστι δ' ὠδὶς καὶ φρενῶν καταφθορά. 210
καὶ γὰρ δύ' ἐστὸν τώδε περιγραφὰ ποδοῖν, 206
αὐτοῦ τ' ἐκείνου καὶ συνεμπόρου τινός. 207
ἀλλ' εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα, 200
οἵοισιν ἐν χειμῶσι ναυτίλων δίκην
στροβούμεθ'· εἰ δὲ χρὴ τυχεῖν σωτηρίας,
σμικροῦ γένοιτ' ἂν σπέρματος μέγας πυθμήν. 203

ΟΡ. Εὔχου τὰ λοιπά, τοῖς θεοῖς τελεσφόρους 211
εὐχὰς ἐπαγγέλλουσα, τυγχάνειν καλῶς.

195. ἐκινυσσόμην (hin- und herschwankte), vgl. Krüger I 54, 8, 8.

196. εὖ σάφα wie Pers. 786 εὖ γὰρ σαφῶς τόδ' ἴστε. Vgl. zu Ag. 1395 und Eum. 520. — ἤ: das zweite Glied wird anders gewendet, so dafs die Abhängigkeit von σάφ' ἦν wegfällt. — Der (konsekutive) Infin. ἀποπτύσαι hängt von εὖ σάφ' ἦν in dem Sinne „eine sichere Entscheidung gegeben wäre" ab.

199. ἄγαλμα . . τιμήν ist Apposition zum Inhalt des Satzes (συμπενθεῖν). Vgl. 509 und zu Ag. 235 f.

204. Euripides (El. 534) kritisiert auch dieses Erkennungsmittel: πῶς δ' ἂν γένοιτ' ἂν ἐν κραταιλέῳ πέδῳ γαίας ποδῶν ἔκμακτρον; εἰ δ' ἔστιν τόδε, δυοῖν ἀδελφοῖν ποὺς ἂν οὐ γένοιτ' ἴσος, ἀνδρός τε καὶ γυναικός, ἀλλ' ἄρσην κρατεῖ.

205. Dieser Vers ist vor 209 unnütz. Ohnedies ist ὅμοιοι und auch ποδῶν überflüssig.

208. πτέρναι . . ὑπογραφαί (Fersen und Umrisse der Fufssohlen) ist Apposition zu στίβοι (Angabe der Teile). Und μετρούμεναι schliefst sich an die Apposition statt an στίβοι an.

210 ff. ὠδὶς . . καταφθορά von der peinlichen Ungewifsheit. In Gegensatz dazu steht εἰδότας 200, zu dem jedoch auch der Satz οἵοισιν . . στροβούμεθα gehört. — σμικροῦ . . πυθμήν: an die Stelle des eigentlichen Ausdrucks tritt ohne weiteres das Gleichnis. Vgl. die schöne Wendung 246 ff.

211 ff. τὰ λοιπὰ (Akk., zu 707) τυγχάνειν καλῶς, τοῖς . . ἐπαγγέλλουσα (den Göttern Bitterfüllung anmeldend d. h. den Göttern dankbar ankündigend, dafs die Bitten in Erfüllung gehen, und damit sich zur Darbringung der gelobten Opfer verpflichtend). Was du erflehst, erfüllt sich bereits; danke den Göttern dafür und bitte nur, dafs auch weiterhin dir alles nach Wunsch gehe." Vgl. 217.

ΗΛ. ἐπεὶ τί νῦν ἕκατι δαιμόνων κυρῶ;
ΟΡ. εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι.
ΗΛ. καὶ τίνα σύνοισθά μοι καλουμένη βροτῶν; 215
ΟΡ. σύνοιδ' Ὀρέστην πολλά σ' ἐκπαγλουμένην.
ΗΛ. καὶ πρὸς τί δῆτα τυγχάνω κατευγμάτων;
ΟΡ. ὅδ' εἰμί· μὴ μάτευ' ἐμοῦ μᾶλλον φίλον.
ΗΛ. ἀλλ' ἦ δόλον τιν', ὦ ξέν', ἀμφί μοι πλέκεις;
ΟΡ. αὐτὸς κατ' αὑτοῦ τἄρα μηχανορραφῶ. 220
ΗΛ. ἀλλ' ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾶν θέλεις.
ΟΡ. κἀν τοῖς ἐμοῖς ἄρ', εἴπερ ἔν γε τοῖσι σοῖς.
ΗΛ. ὡς ὄντ' Ὀρέστην τάδε λέγω σε προυννέπειν;
ΟΡ. αὐτὸν μὲν οὖν ὁρῶσα δυσμαθεῖς ἐμέ.
κουρὰν δ' ἰδοῦσα τήνδε κηδείου τριχὸς 225
ἰχνοσκοποῦσά τ' ἐν στίβοισι τοῖς ἐμοῖς 227
ἀνεπτερώθης κἀδόκεις ὁρᾶν ἐμέ. 226
σκέψαι τομῇ προσθεῖσα βόστρυχον τριχὸς 229
σαυτῆς ἀδελφοῦ, συμμέτρου τῷ σῷ κάρᾳ, 228
ἰδοῦ δ' ὕφασμα τοῦτο, σῆς ἔργον χερός, 230

213. *τίνος γὰρ ἤδη ἐπέτυχον ὑπὸ θεῶν ὅτι εἶπες „τὰ λοιπά"*; Schol. *τί κυρῶ*: zu 707. — *ἕκατι δαιμόνων*, um der Götter willen, quod ad deos attinet.

214. *ὧνπερ* (*εἰς ὄψιν ἥκειν*).

215. Zu dem Gebrauch von *συνειδέναι* (um die That oder den Zustand eines anderen wissen) vgl. Xen. Anab. VII 6, 18 *σύνοιδέ μοι εἰ ἐπιορκῶ*, Plat. Phaed. p. 92 D *ἐγὼ τοῖς διὰ τῶν εἰκότων τὰς ἀποδείξεις ποιουμένοις λόγοις ξύνοιδα οὖσιν ἀλαζόσιν*.

216. *ἐκπαγλουμένην*: *ἐκπάγλως θαυμάζουσαν* Schol., viel Aufhebens, grofses Wesen machend. — *σύνοιδα* ist hier wie *οἶδα* behandelt. Vgl. Krüger I § 56, 7, 6.

217. *πρός*, in Hinsicht auf.

220. *κατ' αὑτοῦ*: zu Ag. 827.

221. *ἐν κακοῖσι γελᾶν* s. v. a. *κακοῖσιν ἐγγελᾶν*. Vgl. Soph. Ant. 551 *γέλωτ' ἐν σοὶ γελῶ* und zu Ag. 1612.

222. Soph. El. 1200 *ΗΛ. μόνος βροτῶν νυν ἴσθ' ἐποικτείρας ποτέ. ΟΡ. μόνος γὰρ ἥκω τοῖς ἴσοις ἀλγῶν κακοῖς.*

223. „Soll ich annehmen, dafs du mit solchen Äufserungen dich als Orestes ausgeben willst?"

224. *αὐτὸν ἐμὲ ὁρῶσα*.

226. *ἀναπτεροῦσθαι* wie *φόβος μ' ἀναπτεροῖ* Eur. Suppl. 89, *ἀνεπτερῶσθαι καὶ πεποτῆσθαι τὰς φρένας* Aristoph. Vö. 1445, *ἀνεπτάμαν* Soph. Ai. 693, *πέτῃ* Eur. Bakch. 332 durch Freude, Furcht oder Hoffnung in die höchste Aufregung und Spannung versetzt werden, so dafs man alle Fassung verliert. Die Fassung wieder gewinnen *καταστῆναι* Pers. 298 *λέξον καταστάς*.

229 f. Orestes sagt: „Überzeuge dich, dafs von dieser Stelle meines Hauptes die Locke abgeschnitten ist, die du bereits als Locke deines Bruders wegen der Ähnlichkeit mit deinen Haaren anerkannt hast." *τομή* die Stelle des Haares, wo die Locke abgeschnitten ist. Vgl. Hom. *Α* 235 *σκῆπτρον, τὸ μὲν οὔ ποτε φύλλα καὶ ὄζους φύσει, ἐπεὶ δὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν.*

230. *ἰδοῦ δέ* wie *σκέψαι μὲν — σκέψαι δέ*, zu 372. — Gegen den Witz des Euripides (El. 541) *οὐκ οἶσθ', Ὀρέστης ἡνίκ' ἐκπίπτει χθο-*

σπάθης τε πληγὰς ἠδὲ θήρειον γραφήν.
ἔνδον γενοῦ, χαρᾷ δὲ μὴ 'κπλαγῇς φρένας·
τοὺς φιλτάτους γὰρ οἶσθα νῷν ὄντας πικρούς. 233
ΗΛ. ὦ τερπνὸν ὄμμα τέσσαρας μοίρας ἔχον 237
ἐμοί· προσαυδᾶν δ' ἔστ' ἀναγκαίως ἔχον
πατέρα τε καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει
στέργηθρον — ἡ δὲ πανδίκως ἐχθαίρεται — 240
καὶ τῆς τυθείσης νηλεῶς ὁμοσπόρου·
πιστὸς δ' ἀδελφὸς ἦσθ', ἐμοὶ σέβας φέρων. 242
ΧΟ. ὦ φίλτατον μέλημα δώμασιν πατρός, 234
δακρυτὸς ἐλπὶς σπέρματος σωτήριος, 235
ἀλκῇ πεποιθὼς δῶμ' ἀνακτήσῃ πατρός. 236
μόνον Κράτος τε καὶ Δίκη σὺν τῷ τρίτῳ 243
πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό σοι.

νός, νέαν μ' ἔτ' οὖσαν; εἰ δὲ κἄκρεκον πέπλους, πῶς ἂν τότ' ὢν παῖς ταὐτὰ νῦν ἔχοι φάρη, εἰ μὴ ξυναύξοινθ' οἱ πέπλοι τῷ σώματι; bemerkt der Schol.: οὐ πάντως ἐν τῷ νῦν χιτῶνι, ἀλλ' εἰκὸς αὐτὸν ἔξωθεν ἔχειν παιδικὸν σπάργανον.

231. σπάθη: Hesych. σπάθημα· πύκνωμα, ἀπὸ τῶν ταῖς σπάθαις κατακρουόντων τὰ ὕφη. — θήρειον γραφήν: solche Buntstickerei kennt schon Hom. τ 228 ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἐλλόν, ἀσπαίροντα λάων. Vgl. Eur. Iph. T. 814, Ion 1146 ff., Hek. 470 f., Poll. VII 55 ὁ δὲ κατάστικτος χιτών ἐστιν ὁ ἔχων ζῷα ἢ ἄνθη ἐνυφασμένα. καὶ ζῳωτὸς δὲ χιτὼν ἐκαλεῖτο καὶ ζῳδιωτός.

232. Vgl. Herod. I 119 ἰδὼν δὲ οὔτε ἐξεπλάγη ἐντός τε ἑωυτοῦ γίνεται, Hom. χ 411 ἐν θυμῷ, γρηῦ, χαῖρε καὶ ἴσχεο μηδ' ὀλόλυζε. Orestes kommt einem heftigen Ausbruch freudiger Überraschung zuvor. Damit vermeidet der Dichter die Notwendigkeit, starke Farben aufzutragen.

237. Soph. Ai. 1004 ὦ δυσθέατον ὄμμα (so ruft Teukros beim Anblick des toten Bruders). — μοίρας, partes, Rollen.

238. ὁ δέ ἀντὶ τοῦ γάρ Schol. Vgl. zu Ag. 437. Die Stelle enthält eine Nachahmung von Hom. Z 429 Ἕκτορ, ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια μήτηρ ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης. — Zu ἔστ' ἀναγκαίως ἔχον vgl. 692, Aristoph. Frie. 334 μοι 'στ' ἀναγκαίως ἔχον, Antiphan. com. frg. 53, 3 ὁδόν, ἣν πᾶσιν ἐλθεῖν ἔστ' ἀναγκαίως ἔχον, Eur. Suppl. 527 τί τούτων ἐστὶν οὐ καλῶς ἔχον.

239. Statt des einfachen μητέρα (προσαυδᾶν) folgt eine neue Wendung.

241. τῆς .. ὁμοσπόρου scil. στέργηθρον ἐς σέ μοι ῥέπει.

242. πιστὸς .. ἦσθα, weil du dich entschlossest zu meiner Erlösung hieherzukommen.

235. Beweinte (d. h. unter Thränen ersehnte) Hoffnung. δακρυτός als fem.: zu Ag. 598. — σπέρματος ist als relat. Gen. von σωτήριος abhängig. Vgl. πόνων θελκτήριος 666, λυμαντήριον οἴκων 760, δειμάτων λυτήριον 816, auch δέσμιον σέθεν Eum. 306. Krüger II 47, 26, 7. Durch σπέρματος σωτήριος wird bezeichnet, daſs sich die Hoffnung auf Erhaltung des Geschlechts bezieht.

236. ἀλκῇ πεποιθώς: Suppl. 355 ἀλκᾷ πίσυνος, Hom. E 299 λέων ὣς ἀλκὶ πεποιθώς.

243. μόνον, vgl. οἶον Ag. 136, μόνον θεοὶ σῴζοιεν Soph. Phil. 528. — σὺν τῷ τρίτῳ: er wird an drit-

ΟΡ. Ζεῦ Ζεῦ, θεωρὸς τῶνδε πραγμάτων γενοῦ· 245
ἰδοῦ δὲ γένναν εὔνιν αἰετοῦ πατρός,
θανόντος ἐν πλεκταῖσι καὶ σπειράμασιν
δεινῆς ἐχίδνης. τοὺς δ' ἀπωρφανισμένους
νῆστις πιέζει λιμός· οὐ γὰρ ἐντελεῖς
θήραν πατρῴαν προσφέρειν σκηνήμασιν. 250
οὕτω δὲ κἀμὲ τήνδε τ', Ἠλέκτραν λέγω,
ἰδεῖν πάρεστί σοι, πατροστερῆ γόνον,
ἄμφω φυγὴν ἔχοντε τὴν αὐτὴν δόμων.
καὶ τοῦ θυτῆρος καί σε τιμῶντος μέγα
πατρὸς νεοσσοὺς τούσδ' ἀποφθείρας, πόθεν 255
ἕξεις ὁμοίας χειρὸς εὔθοινον γέρας;
οὔτ' αἰετοῦ γένεθλ' ἀποφθείρας πάλιν
πέμπειν ἔχοις ἂν σήματ' εὐπιθῆ βροτοῖς,
οὔτ' ἀρχικός σοι πᾶς ὅδ' αὐανθεὶς πυθμὴν

ter Stelle genannt als *Ζεὺς σωτήρ*. Eum. 761 *Παλλάδος καὶ Λοξίου ἕκατι καὶ τοῦ πάντα κραίνοντος τρίτου σωτῆρος* und zu Ag. 257 f.

246. Hier (vgl. 203) wird zuerst das Gleichnis ohne Vermittlung gegeben, diese aber 251 mit *οὕτω δὲ καὶ* nachgebracht. Vgl. Ag. 76 u. 334. *αἰετοῦ πατρός*, des alten Adlers. *πατρός* steht in Gegensatz zu *γένναν*, erinnert aber gleich an die Beziehung des Gleichnisses.

247. Mit *πλεκταῖσι καὶ σπειράμασιν* vgl. *σπείραις πολυπλόκοις* Eur. Med. 481. In betreff der Feindschaft des Adlers und des Drachen vgl. Hom. *M* 200 ff., Aristot. Tiergesch. IX 1 *ἔστι δὲ ἀετὸς καὶ δράκων πολέμια· τροφὴν γὰρ ποιεῖται τοὺς ὄφεις ὁ ἀετός*.

248. *τοὺς δέ*, als ob *παῖδας* statt *γένναν* vorherginge.

249 f. *νῆστις*: zu Ag. 203. — *ἐντελεῖς*, ausgewachsen, flügge (*ὥστε προσφέρειν*). — *θήραν πατρῴαν*, was der alte Adler für die Jungen fing. — *σκηνήμασιν*: *τῇ καλιᾷ* Schol.

252. *πατροστερῆ* passivisch wie *βιοστερῆ* Soph. Oed. K. 747, *κρατὶ ὀμματοστερεῖ* ebd. 1260, dagegen hat *ἀργυροστερῆ* unten 1000 aktive Bedeutung wie *ὀμματοστερής* Eum. 941. — *γόνος*, proles.

253. Vgl. zu 132.

254. *καὶ*: und nicht bloſs Mitleid, sondern auch das eigene Interesse muſs dich bestimmen uns zu helfen. Sept. 76 *γένεσθε δ' ἀλκή· ξυνὰ δ' ἐλπίζω λέγειν· πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει*.

256. *ὁμοίας*, die ebenso reichlich spendet. — *εὔθοινον* wie *θοίναις* Prom. 546 von Opfermahlzeiten gesagt ist. Zum Gedanken Hom. *A* 40 *ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα ταύρων ἠδ' αἰγῶν, τόδε μοι κρήηνον ἐέλδωρ*.

257 ff. *οὔτε .. οὔτε*: zu Ag. 76. Doch hat man nicht den gleichen Fall wie etwa Eur. frg. 194 *ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ τολμῶντα λίαν οὔτε προστάτην χθονός*, weil hier eine Beziehung auf das vorhergehende Gleichnis vorliegt. — *σήματ' εὐπιθῆ*: der Adler (*αἰετὸς ὑψιπέτης*) ist der wichtigste Weissagevogel. Hom. *Θ* 247 *αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν*, *M* 201, *N* 822, *Ω* 292 *αἴτει δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅς τε οἱ αὐτῷ φίλτατος οἰωνῶν, καί εὑ κράτος ἐστὶ μέγιστον*, 315, *β* 146, *ο* 161, *υ* 243. — *αὐανθείς· ξηρανθείς* Hesych.

βωμοῖς ἀρήξει βουθύτοις ἐν ἤμασιν. 260
κόμιζ᾽, ἀπὸ σμικροῦ δ᾽ ἂν ἄρειας μέγαν
δόμον, δοκοῦντα κάρτα νῦν πεπτωκέναι.
ΧΟ. ὦ παῖδες, ὦ σωτῆρες ἑστίας πατρός,
σιγᾶθ᾽, ὅπως μὴ πεύσεταί τις, ὦ τέκνα,
γλώσσης χάριν δὲ πάντ᾽ ἀπαγγείλῃ τάδε 265
πρὸς τοὺς κρατοῦντας· οὓς ἴδοιμ᾽ ἐγώ ποτε
φθίνοντας ἐν κηκῖδι πισσήρει φλογός.
ΟΡ. οὔτοι προδώσει Λοξίου μεγασθενὴς
χρησμὸς κελεύων τόνδε κίνδυνον περᾶν,
κἀξορθιάζων πολλὰ καὶ δυσχειμέρους 270
ἄτας ὑφ᾽ ἧπαρ θερμὸν ἐξαυδώμενος,
εἰ μὴ μέτειμι τοῦ πατρὸς τοὺς αἰτίους,
τρόπον τὸν αὐτὸν ἀνταποκτεῖναι λέγων,
[ἀποχρημάτοισι ζημίαις ταυρούμενον.

260. ἀρήξει: ἐπιμελήσεται τῶν βωμῶν Schol. In anderem Sinne πόλει τ᾽ ἀρήγειν καὶ θεῶν ἐγχωρίων βωμοῖσι Sept. 14. — βουθύτοις ἤμασιν: zu Ag. 1592.

261. κόμιζε: ἐπιμελείας ἄξιον Hesych. Hom. Z 490 τέ᾽ αὐτῆς ἔργα κόμιζε, ρ 113 ὡς ἐμὲ κεῖνος ἐνδυκέως ἐκόμιζε. Das Objekt zu κόμιζε ergiebt sich aus dem folgenden Satze (δόμον).

264. ὦ τέκνα nach ὦ παῖδες als Ausdruck zärtlicher Bitte. Vgl. 895.

265. γλώσσης χάριν s. v. a. γλώσσῃ χαριζόμενος (nur um zu reden, aus Schwatzhaftigkeit, μὴ δυνάμενος ἐχεμυθεῖν Schol.), vgl. Hes. W. und T. 709 μηδὲ ψεύδεσθαι γλώσσης χάριν, Soph. Ant. 371 τόλμας χάριν, Eur. Or. 1514 γλώσσῃ χαρίζῃ, τἄνδον οὐχ οὕτω φρονῶν. — Porson setzt ἀπαγγελεῖ wegen πεύσεται. Aber durch den Konj. ἀπαγγείλῃ wird die Befürchtung dessen ausgedrückt.

266. οὓς ἴδοιμ᾽ ἐγώ ποτε: Eur. Med. 163 ὅν ποτ᾽ ἐγὼ νύμφαν τ᾽ ἐσίδοιμ᾽ αὐτοῖς μελάθροις διακναιομένους, scherzhaft Aristoph. Ach. 1156 ὃν ἔτ᾽ ἐπίδοιμι — τευθίδος δεόμενον.

267. ἐν κηκῖδι πισσήρει, im Qualm des Fichtenharzes, weil der Scheiterhaufen aus dem Holz der Pechfichte (πεύκη) errichtet wurde.

268. οὔτοι προδώσει (με) wie οὔτοι προδώσω (σε) Eum. 64. — μεγασθενής wie Eum. 61 Λοξίᾳ μεγασθενεῖ.

270. ἐξορθιάζων: ἀνατεταμένα βοῶν Schol.

271. Vgl. Eum. 469 f., Attius Epigonis frg. VI R. qui nisi genitorem ulso (s. v. a. ultus fuero), nullum meis dat finem miseriis. — ὑφ᾽ ἧπαρ, „ins Herz". Soph. Ant. 1315 παίσασ᾽ ὑφ᾽ ἧπαρ αὐτόχειρ αὐτήν, Ag. 440, 783. — θερμόν steht proleptisch. Soph. Ant. 88 θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις.

272. μέτειμι: zu Ag. 1666. — τοῦ πατρὸς τοὺς αἰτίους, eine kurze, immerhin verständliche Ausdrucksweise. Doch möchte man τοῦ φόνου τοὺς αἰτίους, wie Heimsöth, oder τοὺς παλαμναίους πατρός oder τοῦ πατρὸς μιαιφόνους, wie Stadtmüller vermutet hat, erwarten.

273. τρόπον τὸν αὐτόν: 887 δόλοις ὀλούμεθ᾽ ὥσπερ οὖν ἐκτείναμεν, 554 ff.

274. Die Partie 274—295, welche durch eigentümliche und starke Färbung des Ausdrucks auffällt und mit 1030 f. οὐκ ἐρῶ τὴν ζημίαν· τόξῳ γὰρ οὔτις πημάτων προσίξεται

αὐτὸν δ' ἔφασκε τῇ φίλῃ ψυχῇ τάδε 275
τίσειν μ' ἔχοντα πολλὰ δυστερπῆ κακά.
τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μηνίματα
ἔταις πιφαύσκων εἶπε βλαστάνειν νόσους,
σαρκῶν ἐπαμβατῆρας, ἀγρίαις γνάθοις
λειχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν· 280
λευκὰς δὲ κόρσας τῇδ' ἐπαντέλλειν νόσῳ·
ἄλλας τ' ἐφώνει προσβολὰς Ἐρινύων
ἐκ προστροπαίων αἱμάτων τελουμένας.
ὁρῶντα λαμπρὸν ἐν σκότῳ νωμῶντ' ὀφρύν.
τὸ γὰρ σκοτεινὸν τῶν ἐνερτέρων βέλος 285
[*ἐκ προστροπαίων ἐν γένει πεπτωκότων*]

nicht in Einklang steht, scheint Dindorf mit Recht als spätere Einlage bezeichnet zu haben. — *ἀποχρημάτοισι . . ταυρούμενον* (scil. *ἐμέ*) erklären Pauw, Hermann, Dindorf u. a. „in Entrüstung wegen des mir entzogenen väterlichen Erbes". Aber der Gegensatz, der in den folgenden Worten *αὐτὸν τῇ φίλῃ ψυχῇ* liegt, weist auf folgenden Sinn hin: „durch Strafen, die nicht mit Geld, sondern mit dem eigenen lieben Leben zu büſsen sind, wild gemacht, aufgeregt", so daſs *ζημίαις* sich auf die Drohungen des Apollon bezieht. Mit *ταυρούμενον* vgl. Eur. Med. 92 *ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην*, 188 *τοκάδος δέργμα λεαίνης ἀποταυροῦται δμωσίν* (diese Beziehung auf den Blick ist natürlicher).

275 f. *αὐτόν με τίσειν τάδε* (scil. *τὸ μὴ μετιέναι τὸν τοῦ πατρὸς φόνον*) *τῇ φίλῃ ψυχῇ* (abhängig von *τίσειν*, büſsen mit) steht, wie gesagt, in Gegensatz zu *ἀποχρημάτοισι*. — *ἔχοντα κτέ.*, d. i. „indem über mich viel Unheil komme".

277 f. „Den Groll der gekränkten Abgeschiedenen aus der Erde den Angehörigen in Aussicht stellend." — *βλαστάνειν νόσους*: vgl. Ag. 753 *βλαστάνειν . . οἰζύν.*

279 f. *λειχῆνας σαρκῶν ἐπαμβατῆρας* (Aussatz der sich über den Leib verbreitet), *ἀγρίαις γνάθοις* (Prom. 384 *ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις . . γύας*) *ἐξέσθοντας* (die Form *ἔσθειν* auch Ag. 1597) *ἀρχαίαν* (die ursprüngliche, *τὴν ὑγιᾶ καὶ ἐξ ἀρχῆς οὖσαν ἡμῖν* Schol.) *φύσιν* ist Apposition zu *νόσους*. Zu *λειχῆνας* vgl. Eum. 788 ff., zu *ἀρχαίαν* Plat. Gorg. 518 D *προσαπολοῦσιν αὐτῶν καὶ τὰς ἀρχαίας σάρκας.*

281. *κόρσας, τρίχας* Schol., Poll. II 32, Etym. M. p. 530, 51, Etym. Gud. p. 338. Vgl. Cels. V 28, 19 vitiligo (Flechte) quoque quamvis per se nullum periculum affert, tamen et foeda est et ex malo corporis habitu fit. Eius tres species sunt. *Ἄλφος . . Μέλας . . Λευκή* habet quiddam simile alpho, sed magis albida est et altius descendit, in eaque albi pili sunt et lanugini similes. Omnia haec serpunt, sed in aliis celerius, in aliis tardius. — *ἐπαντέλλειν* wie *ἀντέλλουσα θρίξ* Sept. 522.

282. *προσβολάς* (aggressiones), vgl. Aristoph. Frie. 59 *ὅτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολή.*

283. *ἐκ προστροπαίων αἱμάτων* d. i. aus dem Grolle der Gemordeten, die nach Rache verlangen.

284. Wenn der Vers dieser Partie ursprünglich angehört, so muſs, wie Dobree vermutet hat, vorher etwas ausgefallen sein (z. B. *τοιαῦτα πέμψειν εἶπε τὸν κάτω νεκρόν*, der obwohl er seine Augenbrauen in der Dunkelheit bewege, doch hell sehe).

285. Die Rede wird hier direkt, 290 wieder indirekt.

286. Der Vers scheint aus einer

καὶ λύσσα καὶ μάταιος ἐκ νυκτῶν φόβος
κινεῖ, ταράσσει, καὶ διώκεται πόλεως
χαλκηλάτῳ μάστιγι λυμανθεὶς δέμας.
καὶ τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος 290
εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβός,
βωμῶν τ' ἀπείργειν οὐχ ὁρωμένην πατρὸς
μῆνιν, δέχεσθαι δ' οὐδὲ συλλύειν τινά·
πάντων δ' ἄτιμον κἄφιλον θνήσκειν χρόνῳ
κακῶς ταριχευθέντα παμφθάρτῳ μόρῳ]. 295
τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι·
κεἰ μὴ πέποιθα, τοὔργον ἔστ' ἐργαστέον.
πολλοὶ γὰρ εἰς ἓν συμπίτνουσιν ἵμεροι,
θεοῦ τ' ἐφετμαὶ καὶ πατρὸς πένθος μέγα,
καὶ πρὸς πιέζει χρημάτων ἀχηνία, 300

Erklärung zu 283 entstanden zu sein. Vgl. Anhang.

287. λύσσα und μάταιος φόβος geben eine Erklärung zu τὸ .. βέλος, wenn sie auch nicht appositionell stehen. — μάταιος, weil nur geträumt. — ἐκ νυκτῶν, nächtlicher Weile, wie Hom. μ 286 ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποί, Theogn. 460, Eur. Rhes. 13 τίνες ἐκ νυκτῶν τὰς ἡμετέρας κοίτας πλάθουσι;

288. κινεῖ, ταράσσει wie Sept. 60 χωρεῖ κονίει, 169 αὔειν λακάζειν, Pers. 429 ἔπαιον ἐρράχιζον, 466 παίουσι κρεοκοποῦσι. Der zweite Ausdruck ergänzt und verstärkt den ersten. — Der bei κινεῖ ταράσσει als Objekt gedachte Schuldige ist Subjekt zu διώκεται. — πόλεως s. v. a. ἐκ πόλεως.

290 f. τοῖς τοιούτοις allgemein, obwohl der Singular vorhergeht (διώκεται). Nachher (294 und schon 292) folgt wieder der Sing. mit besonderer Beziehung auf Orestes. — οὔτε .. οὐ: zu Ag. 501. — μέρος μετασχεῖν wie Ag. 512. — εἶναι, licere. — φιλοσπόνδου λιβός d. i. an der Libation, welche der Kreis der φίλοι darbringt. Zu Ag. 1020 und Soph. Oed. T. 238 μήτ' εἰσδέχεσθαι μήτε προσφωνεῖν τινα, μήτ' ἐν θεῶν εὐχαῖσι μηδὲ θύμασι κοινὸν ποεῖσθαι μήτε χέρνιβας νέμειν, ὠθεῖν δ' ἀπ' οἴκων πάντας. Nach Demosth. XX 158 bestimmte ein Gesetz des Drakon χερνίβων εἴργεσθαι τὸν ἀνδροφόνον, σπονδῶν, κρατήρων, ἱερῶν, ἀγορᾶς.

292. ἀπείργειν, nämlich τὸν τοιοῦτον oder μέ, wie πατρός zeigt.

293. δέχεσθαι οὐδὲ συλλύειν s. v. a. οὔτε δέχεσθαι οὔτε συλλύειν: zu Ag. 537. — συλλύειν: συγκαταλύειν, συνοικεῖν Schol., una deversari. Eine andere Bedeutung dürfte hier kaum am Platze sein. Die Bedeutung wenigstens, die das Wort Soph. Ai. 1317 εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει hat, ist hier nicht brauchbar. Stanley erklärt es: pacisci, transigere, Blomfield: operam praestare in scelere expiando, Hermann: una solvere navem, indem er Eur. frg. 848 ὅστις δὲ τὼ φύσαντε μὴ τιμᾶν θέλῃ, μή 'μοι γένοιτο μήτε συνθύτης θεοῖς μήτ' ἐν θαλάσσῃ κοινόπλουν στέλλοι σκάφος und Hor. carm. III 2, 26 vetabo, qui Cereris sacrum volgarit arcanae, sub isdem sit trabibus fragilemque mecum solvat phaselon vergleicht.

295. ταριχευθέντα, exsiccatum, ein ebenso eigentümlicher Ausdruck wie παμφθάρτῳ.

296. ἆρα für ἄρα (füglich) wie 434.

298. εἰς ἓν (in unum) wie Eur. Phoen. 462 εἰς ἓν συνελθών.

300. καὶ πρός wie Prom. 73 κἀπιθωΰξω γε πρός, 961 πρὸς δέ.

τὸ μὴ πολίτας τ' εὐκλεεστάτους βροτῶν,
Τροίας ἀναστατῆρας εὐδόξῳ φρενί,
δυοῖν γυναικοῖν ὧδ' ὑπηκόους πέλειν.
θήλεια γὰρ φρήν· εἰ δὲ μή, τάχ' εἴσεται.

ΧΟ. Ἀλλ' ὦ μεγάλαι Μοῖραι, Διόθεν 305
τῇδε τελευτᾶν
ᾗ τὸ δίκαιον μεταβαίνει.
ἀντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ
γλῶσσα τελείσθω· τοὐφειλόμενον
πράσσουσα Δίκη μέγ' ἀϋτεῖ· 310

301 ff. τὸ μὴ . . τε . . πέλειν schliefst sich wieder wie ἐφετμαί und πένθος appositionell an ἵμεροι an: „der Wunsch dafs nicht . . seien.“ — δυοῖν γυναικοῖν: Ag. 1625.

304. τάχ' εἴσεται wie Ag. 1649 γνώσῃ τάχα, Sept. 646 τάχ' εἰσόμεσθα τἀπίσημ' ὅποι τελεῖ, Eur. Iph. A. 970 τάχ' εἴσεται σίδηρος, Herakleid. 269 πειρώμενος δὴ τοῦτό γ' αὐτίκ' εἴσομαι. „Wenn er aber sich gegen den Vorwurf der θήλεια φρήν wehrt, wird er's bald erfahren.“ Es ist nicht nötig εἴσεται (mit Pauw und Hermann) passivisch zu nehmen oder εἴσομαι zu schreiben. Vgl. Demosth. VIII § 40 κακόνους μέν ἐστι .. τοῖς μάλιστ' οἰομένοις αὐτῷ χαρίζεσθαι· εἰ δὲ μή (d. i. wenn sie es mir nicht glauben), σκεψάσθωσαν κτέ.

305—476 Kommos, welcher den Rächer weckt (vgl. 326 f.) und die Motive der Handlung entwickelt zur Ermutigung und Stärkung des Orestes (510 ἐπειδὴ δρᾶν κατώρθωσαι φρενί). Derselbe wird durch eine anapästische Partie des Koryphaios eingeleitet und durch eine solche geschlossen und besteht aufserdem aus vier Teilen. Die erste Partie (314—421) zerfällt durch ein anapästisches System des Koryphaios (371—378) in zwei symmetrische Teile, deren Mitte wieder anapästische Systeme des Chorführers einnehmen, die sich entsprechen (339 —343 = 399—403), während zu beiden Seiten eine Strophe des Orestes und eine Antistrophe der Elektra stehen, die auf der einen Seite durch eine Strophe, auf der anderen durch eine Antistrophe des Chors getrennt werden. Die Form des Ganzen ist also folgende:

Or. Cho. El. Kor. Or. Cho. El. Kor. Or. Cho. El. Kor. Or. Cho. El.

305. ἀλλά häufig am Anfang von Gebeten wie im Lat. at, 474, 538, 1061, Pers. 631, 643, Soph. Oed. K. 421, Eur. Med. 759, 1389. Μοῖραι, Διόθεν (durch die Fügung von Zeus, Eur. Or. 355 θεόθεν πράξας ἅπερ ηὔχον): Zeus bringt das ewige Gesetz, welches die Mören vertreten, zur Ausführung, vgl. Eum. 1046 Ζεὺς ὁ πανόπτας οὕτω Μοῖρά τε συγκατέβα. — Über den absolut. Infin. τελευτᾶν (exitum habeat) zu Ag. 150.

307. Qua via iustitia procedit contra Agamemnonis occisores in favorem Orestis (Butler).

309 f. τελεῖν „leisten, zollen“ unterscheidet sich von τελεῖν „voll-

ἀντὶ δὲ πληγῆς φονίας φονίαν
πληγὴν τινέτω. δράσαντι παθεῖν,
τριγέρων μῦθος τάδε φωνεῖ.

str. 1. ΟΡ. *ὦ πάτερ αἰνοπαθές, τί σοι*
φάμενος ἢ τί ῥέξας 315
τύχοιμ' ἂν ἕκαθεν οὐρίσας
ἔνθα σ' ἔχουσιν εὐναί;
σκότῳ φάος ἀντίμοιρον·
χάριτες δ' ὁμοίως
κέκληνται γόος εὐκλεὴς 320
προσθοδόμοις Ἀτρείδαις.

str. 1. ΧΟ. *τέκνον, φρόνημα τοῦ*
θανόντος οὐ δαμάζει

enden". Vgl. Curtius griech. Etymol. unter W. *τελ.* — Der Zwischensatz „Dike treibt mit lautem Rufe das Geschuldete ein" bezieht sich auf den ganzen Gedanken „Wort für Wort, Schlag für Schlag", was s. v. a. „wie Wort für Wort, so Schlag für Schlag". Das alte ius talionis „Aug' um Auge, Zahn um Zahn". Ag. 1431 *τύμμα τύμματι τῖσαι.*

312 f. *τινέτω, ὁ φονεύσας* (Schol.) oder *ὁ δράσας*, was sich leicht aus dem Zusammenhang ergänzt. — *δράσαντι*: der Dativ unter dem Einfluſs von *φωνεῖ.* — *δράσαντι παθεῖν*, vgl. Hes. frg. 217 Göttl. *εἴ κε πάθοι τά κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο*, Pind. Nem. IV 32 *ῥέζοντά τι καὶ παθεῖν ἔοικεν*, Aesch. frg. 282 *δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται*, Ag. 381. — *τριγέρων* (zu Ag. 749) wie *τριπάχυντος* Ag. 1477, *τρίπαλαι* Aristoph. Ri. 1152. — *τάδε*: zu Ag. 1333.

314 ff. *αἰνοπαθές* (von Hartung hergestellt für *αἰνόπατερ*): *δεινὰ παθών* Schol. „Welches Wort oder welche Handlung kann ich glücklich ans Ziel zu dir ins Grab bringen? Wie das Reich des Lichtes geschieden ist von dem Reiche der Finsternis, so sind Gunsterweisungen, die in einem kräftigen Seufzer bestehen, verschlossen für die Atriden, die früheren Herren des Hauses (d. i. sie können nicht zu Agamemnon dringen). Zum Gedanken vgl. Aristoph. Frö. 1175 *τεθνηκόσιν γὰρ ἔλεγεν, ὦ μοχθηρὲ σύ, οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα.* — *τύχοιμ' ἄν*, dürfte es mir gelingen. Vgl. zu Ag. 1200. — *ἕκαθεν οὐρίσας*: Eur. Or. 1241 *εἴπερ γὰρ εἴσω γῆς ἀκοντίζουσ' ἀραί, κλύει.* — *εὐναί* wie Soph. El. 436 *εὐνὴν πατρός.* — *χάριτες γόος*: *χάριτας δὲ νεκρῶν πάντες φασὶ τὸν γόον* Schol. (Paley schreibt *φασὶ πάντες*, indem er darin den Vers eines Komikers sieht). Eur. Hel. 176 *χάριτας ἵν' ἐπὶ δάκρυσι παρ' ἐμέθεν ὑπὸ μέλαθρα νύχια παιᾶνας νέκυσι μελομένους λάβῃ.* — *ὁμοίως* steht an der gleichen Stelle der Antistrophe. — *προσθοδόμοις*: *τοῖς πρότερον ἐσχηκόσι δόμον* Schol.

322 ff. „Den Geist des Toten verzehrt die Flamme des Scheiterhaufens nicht. Er offenbart hinterdrein seinen Groll (gegen den Mörder). Die Weheklage um den Gemordeten läſst den Rächer erstehen. Und sind die Väter auch in Asche auf-

πυρὸς μαλερὰ γνάθος,
φαίνει δ' ὕστερον ὀργάς· 325
ὀτοτύζεται δ' ὁ θνήσκων,
ἀναφαίνεται δ' ὁ βλάπτων·
πατέρων δὲ καὶ τακέντων
γόος ἔνδικος ματεύει
τὸ πᾶν ἀμφιλαφὴς ἀραχθείς.' 330

ant. 1. ΗΛ. κλῦθί νυν, ὦ πάτερ, ἐν μέρει
πολυδάκρυτα πένθη.
δίπαις τοί σ' ἐπιτύμβιος
θρῆνος ἀναστενάζει.
τάφος δ' ἱκέτας δέδεκται 335
φυγάδας θ' ὁμοίως.
τί τῶνδ' εὖ, τί δ' ἄτερ κακῶν;
οὐκ ἀτρίακτος ἄτα;

syst. ΧΟ. ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρῄζων
θείη κελάδους εὐφθογγοτέρους· 340
ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων
παιὰν μελάθροις ἐν βασιλείοις
φιάλην νεοκρᾶτα κομίζοι.

str. 2. ΟΡ. εἰ γὰρ ὑπ' Ἰλίῳ

gegangen, ein aufrichtiger Jammerruf, der durchaus kräftig an das Grab hingeschmettert wird, weiſs sie zu finden." *μαλερά* wie Hom. *I* 242 *μαλεροῦ πυρός*. — *γνάθος*: zu 279. Zum Gedanken vgl. Lucan V 763 nostros non rumpit funus amores, non diri fax summa rogi. — *τακέντων* wie Eur. Suppl. 1141 *αἰθὴρ ἔχει νιν ἤδη πυρὸς τετακότα σποδῷ*. — *ματεύει* scil. *αὐτούς* (*πατέρας*). — *ἀμφιλαφής*: vgl. Ag. 872, 1001, *βρονταὶ .. ἀμφιλαφέες* Herod. IV 28.

336. *φυγάδας*: zu 132.

337. Vgl. Eum. 154.

338. *ἀτρίακτος, ἀνίκητος. ἀπὸ τῶν παλαιστῶν, οἳ ἀποτριάζονται ὑπὸ τῶν ἀντιπάλων*. Zu Ag. 181.

339. *ἐκ τῶνδε*, unter solchen Verhältnissen, trotzdem, vgl. Pers. 790 *πῶς ἂν ἐκ τούτων ἔτι πράσσοιμεν ὡς ἄριστα*, Soph. Ai. 537 *τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφελοῖμί σε;* Eur. Med. 459 *ὅμως δὲ κἀκ τῶνδ' ἥκω*, Hipp. 705 *ἀλλ' ἔστι κἀκ τῶνδ' ὥστε σωθῆναι*. — *χρῄζων*, wenn es sein Wille ist.

343. *φιάλην νεοκρᾶτα*: vgl. frg. 336 *νεοκρᾶτας σπονδάς* und zum Gedanken Hom. Z 528 *αἴ κέ ποθι Ζεὺς δώῃ .. θεοῖς .. κρητῆρα στήσασθαι ἐλεύθερον ἐν μεγάροισιν*.

344. *εἰ γὰρ* unter Anknüpfung an 337 ff. *τί τῶνδ' εὖ .. ἄτα;* Der Gedanke nach Hom. α 236 *οὔ κε θανόντι περ ὧδ' ἀκαχοίμην, εἰ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ*, λ 408 *οὔτε μ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου, ἀλλά μοι Αἴγισθος τεύξας θάνατόν τε μόρον τε ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ*. Vgl.

πρός τινος Λυκίων, πάτερ, 345
δορίτμητος κατηναρίσθης,
λιπὼν ἂν εὔκλειαν ἐν δόμοισιν
τέκνων τ' ἐν κελεύθοις
ἐπιστρεπτὸν αἰῶ
κτίσας πολύχωστον ἂν εἶχες 350
τάφον διαποντίου γᾶς
δώμασιν εὐφόρητον.

ant. 1. ΧΟ. φίλος φίλοισι τοῖς
ἐκεῖ καλῶς θανοῦσιν
κατὰ χθονὸς ἐμπρέπων 355
σεμνότιμος ἀνάκτωρ,
πρόπολός τε τῶν μεγίστων
χθονίων ἐκεῖ τυράννων·
βασιλεὺς γὰρ ἦν, ὄφρ' ἔζη,
μόριμον λάχος περαίνων 360
χεροῖν πεισιβρότῳ τε βάκτρῳ.

ant. 2. ΗΛ. μηδ' ὑπὸ Τρωΐοις
τείχεσι φθίμενος, πάτερ,

Soph. El. 94 ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν φοίνιος Ἄρης οὐκ ἐξένισεν κτέ., Eur. Androm. 1182 εἴθε σ' ὑπ' Ἰλίῳ ἤναρε δαίμων Σιμοεντίδα παρ' ἀκτάν.

348 f. „und das Dasein deiner Kinder zu einem auf ihren Wegen die Augen der Menge auf sich ziehenden gemacht" d. h. wo deine Kinder sich in der Öffentlichkeit gezeigt hätten, würde man nach ihnen umgeblickt und auf sie als die Kinder des berühmten Vaters hingedeutet haben. Vgl. zu Ag. 1331.

350. κτίσας: zu Eum. 17. — πολύχωστον, hoch aufgeschüttet (nicht ὑπὸ πολλῶν κεχωσμένον, wie der Schol. erklärt). Vgl. Hom. ω 80.

352. δώμασιν εὐφόρητον d. i. bei einem solchen Tode hätte die Familie sich trösten können und während sonst ein Grab im fremden Lande (διαποντίου γᾶς) schmerzlich ist (Ag. 511 ff.), wäre es in dem Falle erfreulicher gewesen als dieses Grab in heimischer Erde.

353 f. φίλος κτέ. schliefst sich an das vorhergehende εἶχες an. — ἐκεῖ d. i. vor Troja, dagegen 358 s. v. a. in der Unterwelt.

355 f. Hom. λ 485 νῦν αὖτε μέγα κρατέεις νεκύεσσιν ἐνθάδ' ἐών· τῷ μή τι θανὼν ἀκαχίζευ, Ἀχιλλεῦ.

357 f. πρόπολος.. τυράννων: Schol. Πλούτωνος καὶ Περσεφόνης. Vgl. Eur. Alk. 746 Ἅιδου νύμφῃ παρεδρεύοις (Alkestis), Demosth. 60, 34 παρέδρους εἰκότως ἄν τις φήσαι τοῖς κάτω θεοῖς εἶναι.

359. Hom. Γ 179 εὐρὺ κρείων Ἀγαμέμνων, ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.

